Joint Association of Classical Teachers, *Reading Greek*

## Secció 1

## El frau de l'assegurança

### A

*Hegèstratos i Zenotemis, socis d'un negoci de transport de gra, han assegurat la càrrega de gra del seu vaixell per molt més del seu valor. Embarquen a Bizanci, amb el capità i la tripulació. El vaixell va a Quios, on embarca un rapsoda, i a Eubea, on puja Diceòpolis, i per fi ja veuen Atenes i el seu port, el Pireu. Mentre Zenotemis distreu l'atenció dels passatgers fent lloances de la vista panoràmica, a baix se sent un soroll estrany…*

τὸ πλοῖόν ἐστιν ἐν Βυζαντίῳ. ἐν δὲ Βυζαντίῳ, ὁ Ἡγέστρατος βαίνει εἰς τὸ πλοῖον, ἔπειτα ὁ Ζηνόθεμις βαίνει εἰς τὸ πλοῖον, τέλος δὲ ὁ κυβερνήτης καὶ οἱ ναῦται εἰσβαίνουσι εἰς τὸ πλοῖον. τὸ δὲ πλοῖον πλεῖ εἰς Χίον. ἐν δὲ Χίῳ, ὁ ῥαψῳδὸς εἰσβαίνει. ἔπειτα δὲ πλεῖ τὸ πλοῖον εἰς Εὔβοιαν. ἐν δὲ Εὐβοίᾳ, εἰσβαίνει ὁ Δικαιόπολις. τέλος δὲ πρὸς τὰς Ἀθήνας πλεῖ τὸ πλοῖον καὶ πρὸς τὸν Πειραιᾶ.

τὸ μὲν οὖν πλοῖον πλεῖ, ὁ δὲ Ζηνόθεμις πρὸς τὴν γῆν βλέπει. τί ὁρᾷ ὁ Ζηνόθεμις; ὁ Ζηνόθεμις ὁρᾷ τήν τε ἀκρόπολιν καὶ τὸν Παρθενῶνα. ἔπειτα δὲ ὅ τε Δικαιόπολις καὶ ὁ κυβερνήτης πρὸς τὴν γῆν βλέπουσιν. τί ὁρῶσιν ὁ Δικαιόπολις καὶ ὁ κυβερνήτης; καὶ ὁ Δικαιόπολις καὶ ὁ κυβερνήτης τήν τε ἀκρόπολιν ὁρῶσι καὶ τὸν Παρθενῶνα. ἐξαίφνης ὅ τε Δικαιόπολις καὶ ὁ κυβερνήτης ψόφον ἀκούουσιν.




The route from Byzantium to Athens



τὸ πλοῖον



ὁ Ζηνόθεμις ὁρᾷ τήν τε ἀκρόπολιν καὶ τὸν Παρθενῶνα

**Text B**

ΖΗΝΟΘΕΜΙΣ (*assenyalant cap a terra*)

δεῦρο ἐλθέ, ὦ Δικαιόπολι, καὶ βλέπε. ἐγὼ γὰρ τὴν ἀκρόπολιν ὁρῶ.

ἆρα καὶ σὺ τὴν ἀκρόπολιν ὁρᾷς;

ΔΙΚΑΙΟΠΟΛΙΣ (*mirant cap a terra*)

Ποῦ ἐστιν ἡ ἀκρόπολις; ἐγὼ γὰρ τὴν ἀκρόπολιν οὐχ ὁρῶ.

ΖΗΝ. δεῦρο ἐλθέ, καὶ βλέπε. ἆρα οὐχ ὁρᾷς τὸν Παρθενῶνα;

ΔΙΚ. ναί. νῦν γὰρ τὴν ἀκρόπολιν ὁρῶ καὶ ἐγώ.

ΖΗΝ. ὦ Ζεῦ. ὡς καλός ἐστιν ὁ Παρθενῶν, καλὴ δὲ ἡ ἀκρόπολις.

ΚΥΒΕΡΝΗΤΗΣ (*d'acord*)

ἀληθῆ σὺ λέγεις, ὦ Ζηνόθεμι.

(*de sobte*)

ἄκουε, ψόφος. ἆρα ἀκούεις ; τίς ἐστιν ὁ ψόφος; ἆρα ἀκούεις καὶ σὺ τὸν ψόφον, ὦ Ζηνόθεμι;

ΖΗΝ. (*afanyant-se per canviar de tema*)

οὐ μὰ Δία, οὐδὲν ἀκούω ἐγώ, ὦ κυβερνήτα. μὴ φρόντιζε. ἀλλὰ δεῦρο ἐλθέ, καὶ βλέπε. ἐγὼ γὰρ τὸ νεώριον ὁρῶ καὶ τὸν Πειραιᾶ. ἆρα ὁρᾷς καὶ σὺ τὸ νεώριον:

ΚΥΒ. ναί.

ΖΗΝ. ὦ Ζεῦ. ὡς καλόν ἐστί τὸ νεώριον, καλός δὲ ὁ Πειραιεύς.

ΚΥΒ. (*estant d'acord, amb impaciència*)

ἀληθῆ λέγεις, ὦ Ζηνόθεμι. ἰδού, ψόφος. αὖθις γὰρ τὸν ψόφον ἀκούω ἔγωγε.

ΔΙΚ. καὶ ἐγὼ τὸν ψόφον αὖθις ἀκούω, ὦ κυβερνήτα, σαφῶς. ἐγὼ οὖν καὶ σὺ ἀκούομεν τὸν ψόφον.